Ακαδημία Αθηνών / Academy of Athens

ἀμελέοντας τῶν ἑωυτῶν ἄλλα πρήσσειν. || **συμφέρεσθαι 1.** Συμφέρομαι/ἐναρμονίζομαι, go along with/be harmonized with, Ἡράκλειτος 10 *συνάψιες ὅλα καὶ οὐχ ὅλα, σ υ μ φ ε ρ ό μ ε ν ο ν διαφερόμενον, συνᾷδον διᾷδον* **2.** Συνάγω/μαζεύω καὶ φέρνω, gather/collect and bear, Ἀναξαγόρας 4.10 *ἐκεῖνοι τὰ ὀνήιστα σ υ ν ε ν ε γ κ ά μ ε ν ο ι εἰς τὴν οἴκησιν χρῶνται.*

συμφορά. Συμφορὰ/δυστυχία, calamity/misfortune, Δημόκριτος 42 *μέγα τὸ ἐν ξ υ μ φ ο ρ ῇ σ ι φρονεῖν ἃ δεῖ* 76 *νηπίοισιν οὐ λόγος, ἀλλὰ ξ υ μ φ ο ρ ὴ γίνεται διδάσκαλος* 107a *ἄξιον ἀνθρώπους ὄντας ἐπ' ἀνθρώπων σ υ μ φ ο ρ α ῖ ς μὴ γελᾶν, ἀλλ' ὀλοφύρεσθαι* 215 *ἀδικίης δὲ δεῖμα ξ υ μ φ ο ρ ῆ ς τέρμα* 293 *αἱ τῶν πέλας ξ υ μ φ ο ρ α ί.*

σύμφορον (ἀντίθ. *ἀσύμφορον*). Συμφέρον/ὠφέλιμο, advantageous/beneficial, Δημόκριτος 4 *τέρψις γὰρ καὶ ἀτερπίη οὖρος ⟨τῶν σ υ μ φ ό ρ ω ν καὶ τῶν ἀσυμφόρων ...⟩* 188 *ὅρος σ υ μ φ ό ρ ω ν καὶ ἀσυμφόρων τέρψις καὶ ἀτερπίη.* Πρβλ. *συμφέρειν.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

συμφρόνησις (συνών. *ὁμοφροσύνη*). Ὁμοφροσύνη/ συμφωνία, agreement, Φιλόλαος 10 *ἔστι γὰρ ἁρμονία πολυμιγέων ἕνωσις καὶ δίχα φρονεόντων σ υ μ φ ρ ό ν η σ ι ς.*

συμφύεσθαι. Συμφύομαι/συναναπτύσσομαι, grow together, Ἐμπεδοκλῆς 26.7 *εἰσόκεν ἓν σ υ μ φ ύ ν τ α τὸ πᾶν ὑπένερθε γένηται* 95 *Κύπριδος ... ἐν παλάμῃσιν ὅτε ξ ὺ μ πρῶτ' ἐ φ ύ ο ν τ ο.*

συμφύρεσθαι. Συμφύρομαι, be kneaded together, Δημόκριτος 285 *ἀνθρωπίνην βιοτὴν ἀφαυρήν τε ἐοῦσαν καὶ ὀλιγοχρόνιον πολλῇσίν τε κηρσὶ σ υ μ π ε φ υ ρ μ έ ν η ν καὶ ἀμηχανίῃσιν.*

σύμφυτος. Σύμφυτος, congenital, Φιλόλαος 11.26 *ἁ δ' ἀλήθεια οἰκεῖον καὶ σ ύ μ φ υ τ ο ν τᾷ τῶ ἀριθμῶ γενεᾷ.*

συμφωνεῖν. Συμφωνῶ, agree, Δημόκριτος 107 *φίλοι οὐ πάντες οἱ ξυγγενέες, ἀλλ' οἱ ξ υ μ φ ω ν έ ο ν τ ε ς περὶ τοῦ ξυμφέροντος.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ